τὴν δόξαν αὐτῆς ἐπληθύνθη ἡ ἀτιμία αὐτῆς, καὶ τὸ ὕψος αὐτῆς
ἐστράφη εἰς πένθος.
41 [41] Καὶ ἔγραψεν ὁ βασιλεὺς πάσῃ τῇ βασιλείᾳ αὐτοῦ εἶναι πάντας
42 εἰς λαὸν ἕνα [42] καὶ ἐγκαταλιπεῖν ἕκαστον τὰ νόμιμα αὐτοῦ. καὶ
43 ἐπεδέξαντο πάντα τὰ ἔθνη κατὰ τὸν λόγον τοῦ βασιλέως. [43] καὶ
πολλοὶ ἀπὸ Ισραηλ εὐδόκησαν τῇ λατρείᾳ αὐτοῦ καὶ ἔθυσαν τοῖς
44 εἰδώλοις καὶ ἐβεβήλωσαν τὸ σάββατον. [44] καὶ ἀπέστειλεν ὁ βασιλεὺς
βιβλία ἐν χειρὶ ἀγγέλων εἰς Ιερουσαλημ καὶ τὰς πόλεις Ιουδα πο-
45 ρευθῆναι ὀπίσω νομίμων ἀλλοτρίων τῆς γῆς [45] καὶ κωλῦσαι ὁλο-
καυτώματα καὶ θυσίαν καὶ σπονδὴν ἐκ τοῦ ἁγιάσματος καὶ βεβη-
46 λῶσαι σάββατα καὶ ἑορτὰς [46] καὶ μιᾶναι ἁγίασμα καὶ ἁγίους,
47 [47] οἰκοδομῆσαι βωμοὺς καὶ τεμένη καὶ εἰδώλια καὶ θύειν ὕεια καὶ
48 κτήνη κοινὰ [48] καὶ ἀφιέναι τοὺς υἱοὺς αὐτῶν ἀπεριτμήτους βδελύξαι
49 τὰς ψυχὰς αὐτῶν ἐν παντὶ ἀκαθάρτῳ καὶ βεβηλώσει [49] ὥστε ἐπι-
50 λαθέσθαι τοῦ νόμου καὶ ἀλλάξαι πάντα τὰ δικαιώματα· [50] καὶ ὃς
51 ἂν μὴ ποιήσῃ κατὰ τὸν λόγον τοῦ βασιλέως, ἀποθανεῖται. [51] κατὰ
πάντας τοὺς λόγους τούτους ἔγραψεν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ καὶ
ἐποίησεν ἐπισκόπους ἐπὶ πάντα τὸν λαὸν καὶ ἐνετείλατο ταῖς πό-
52 λεσιν Ιουδα θυσιάζειν κατὰ πόλιν καὶ πόλιν. [52] καὶ συνηθροίσθησαν
ἀπὸ τοῦ λαοῦ πολλοὶ πρὸς αὐτούς, πᾶς ὁ ἐγκαταλείπων τὸν νόμον,
53 καὶ ἐποίησαν κακὰ ἐν τῇ γῇ [53] καὶ ἔθεντο τὸν Ισραηλ ἐν κρύφοις
54 ἐν παντὶ φυγαδευτηρίῳ αὐτῶν. [54] καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ
Χασελευ τῷ πέμπτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει ᾠκοδό-
μησεν βδέλυγμα ἐρημώσεως ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐν πόλεσιν
55 Ιουδα κύκλῳ ᾠκοδόμησαν βωμούς· [55] καὶ ἐπὶ τῶν θυρῶν τῶν οἰ-
56 κιῶν καὶ ἐν ταῖς πλατείαις ἐθυμίων. [56] καὶ τὰ βιβλία τοῦ νόμου, ἃ
57 εὗρον, ἐνεπύρισαν ἐν πυρὶ κατασχίσαντες. [57] καὶ ὅπου εὑρίσκετο
παρά τινι βιβλίον διαθήκης, καὶ εἴ τις συνευδόκει τῷ νόμῳ, τὸ
58 σύγκριμα τοῦ βασιλέως ἐθανάτου αὐτόν. [58] ἐν ἰσχύι αὐτῶν ἐποίουν
τῷ Ισραηλ τοῖς εὑρισκομένοις ἐν παντὶ μηνὶ καὶ μηνὶ ἐν ταῖς πό-
59 λεσιν. [59] καὶ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς θυσιάζοντες ἐπὶ τὸν
60 βωμόν, ὃς ἦν ἐπὶ τοῦ θυσιαστηρίου. [60] καὶ τὰς γυναῖκας τὰς περι-

40 η ατιμια ScL] ατιμασμος A (de S* cf. sup.) || 41 εις > SL || 42 επεδεξαντο] ν > SL || 45 θυσιαν] -ας A† || 47 ειδωλια] -λα A pau. | κοινα] πολλα S*† || 48 αφειναι S: cf. Thack. p. 251 | βεβηλωσει] -σαι AScL (+ αυτους L) || 49 αλλαξαι] -ξασθαι S† || 50 τον λογον] το ρημα A || 51 παση > A† | επι] κατα S† | ενετειλατο] -λαντο S || 52 πολλοι / προς αυτους S La†] tr. A | πας ο] και (sic) S*† || 53 κρυφοις] -φιοις AScL: cf. 2 31 || 54 τη > A | χασαλευ S*Lp, χασλευ Lp†: cf. 4 52. 59 | ωκοδομησεν S*] -σαν AScpl. || 55 θυρων] -ριδων A† || 56 εν > A | κατασχισ. ante ενεπυρ. tr. S || 57 το συγκριμα ... εθανατου] το συγκρ. ... εθανατουν (sic) S†, κατα το συγκρ. ... εθανατουν pau. || 58 εποιουν S* La†] + ουτω(ς) ASc || 59 τη ScL (cf. 4 52. 59 13 51)] > S*A